www.tezaurliturgic.ro



## ΝΟΕΜΒΡΙΟΥ ΙΖʹ

### Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
### ΓΕΝΝΑΔΙΟΥ
### Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δʹ, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. βʹ. Αἱ ἀγγελικαί.

Τὴν θεοπρεπῆ, διανύων πολιτείαν, τῆς ἀπ᾽ οὐρανῶν, ἠξιώθης ἐπιπνοίας, καθάρας τὴν καρδίαν, ἀρετῶν ἐπιδόσεσι, καὶ ἀρχιερεὺς θεῖος ἐδείχθης, ἐν ἐκλογῇ τῇ θεοκρίτῳ, σαφῶς, Ὅσιε· ὅθεν, Γεννάδιε σοφέ, τιμῶμεν τὴν μνήμην σου.

Μέγας ἀληθῶς, Ἱεράρχης ἀνεδείχθης, οἷα θησαυρός, ταπεινώσεως ἁγίας, καὶ μείζοσιν ἀγῶσι, καὶ λαμπροῖς προτερήμασι, Πάτερ, κατεκόσμησας μεγάλως, ἥνπερ κεκλήρωσαι μεγάλην, καθέδραν, Ἅγιε· διὸ μεγάλων ἐκ Θεοῦ, χαρίτων ἠξίωσαι.

Ζήλῳ ἱερῷ, διαπρέπων, Ἱεράρχα, τῶν αἱρετικῶν, διαλύεις τὴν ἀπάτην, καὶ ἐν δυσὶ τελείαις, τὸν Χριστόν, Πάτερ, φύσεσιν, ἅμα ἐνεργείαις δογματίζεις, ἐν ὑποστάσει μιᾷ ὄντα, καὶ μετὰ σάρκωσιν, τὸν σὲ δοξάσαντα λαμπρῶς, παμμάκαρ Γεννάδιε.

Ποίμνης σου σοφῶς, ἡγησάμενος τῆς θείας, ἐπὶ τὴν Σιών, παρεγένου τὴν ἁγίαν, ἐκεῖθεν δὲ εἰς Κύπρον, ὥσπερ ἄγνωστος ἔφθασας, ἔνθα τῷ Κυρίῳ ἐναπέθου, τὴν σὴν ψυχήν, Ἀρχιεράρχα, καλῶς τελέσας σου, τὴν μετὰ σώματος ζωήν, Γεννάδιε ἔνδοξε.

Δόξα... Ἦχος βʹ.

Τῶν ἀρετῶν ταῖς ἰδέαις ἐμπρέπων, ἱερωσύνης ἐκληρώσω τὸ ἔνδυμα, ὡς τοῦ Θεοῦ θεράπων, Γεννάδιε πάτερ· τοῦ καλοῦ ποιμένος τοῖς ἴχνεσιν, ἀκλινῶς ἀκολουθῶν, τύπον θείων πράξεων, καὶ εἰκόνα ἐναρέτου ζωῆς, σεαυτὸν παρέστησας, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· διὸ ἑορτάζει σου, Ἱεράρχα, μνήμην τὴν πάνσεπτον.

Καὶ νῦν... Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης, Χριστέ.

Ποιμένων ἀκροθίνιον, καὶ σκεῦος πολυτίμητον, οὐρανίων, ἀνεδείχθης δωρεῶν, Χριστοῦ τῇ Ἐκκλησίᾳ, ὡς θεῖος Ἱεράρχης, πάτερ Γεννάδιε μακάριε.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Καθάρας τὴν καρδίαν σου, ταῖς θείαις ἀναβάσεσι, φῶς τὸ θεῖον, ὑπεδέξω μυστικῶς, καὶ τῶν θαυμάτων, Πάτερ, τὴν χάριν ἐκομίσω, παρὰ Θεοῦ τοῦ σὲ δοξάσαντος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Δογμάτων τῶν τῆς πίστεως, καὶ θείων παραδόσεων, ἀνεδείχθης, Ἱεράρχα, ζηλωτής, ὡς Ἐκκλησίας ὄμμα, καὶ εὐσεβείας στόμα, πάτερ Γεννάδιε θεόσοφε.

Δόξα... Τριαδικόν.

Τριάδα ὁμοούσιον, Μονάδα τρισυπόστατον, τὸν Πατέρα, καὶ Υἱὸν καὶ τὸ εὐθές, Πνεῦμα σοφῶς κηρύττων, τὴν πλάνην διαλύεις, τὴν τῶν αἱρέσεων, Γεννάδιε.

Καὶ νῦν... Θεοτοκίον.

Σαρκὸς ἐν ὁμοιώματι, τεχθεὶς ἐκ τῶν αἱμάτων σου, ὁ Πατρῴᾳ, ἐν μορφῇ Υἱὸς Θεοῦ, ἀνέπλασε, Παρθένε, τοὺς σὲ Θεογεννῆτορ, ὡς Θεοτόκον μεγαλύνοντας.

Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ.

Καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάτερ Γεννάδιε, τὸν σόν, βίον ἐκ νεότητος, ταῖς ἀρεταῖς κατεκόσμησας, ὡς στοιχειούμενος, φόβῳ τῷ ἐνθέῳ· ὅθεν ἐχρημάτισας, θεράπων τοῦ Θεοῦ ἐνθεώτατος, καὶ θεῖος πρόεδρος, Ἐκκλησίας ἀναδέδειξαι, Ἀποστόλων, ἴχνεσιν ἑπόμενος.

Πάτερ Γεννάδιε, φωστήρ, εὐσεβείας μέγιστος, ὡς ἀληθῶς ὤφθης, Ἅγιε, ζήλῳ τῆς πίστεως, καὶ λαμπρῶς κοσμήσας, Κωνσταντινουπόλεως, τὸν θρόνον τὸν σεπτὸν καὶ περίδοξον, λόγοις καὶ πράξεσι, τῆς ἁγίας πολιτείας σου, ἐπαξίως, θεόθεν δεδόξασαι.

Πάτερ Γεννάδιε, τῆς σῆς, χάριτος τρυφήσασα, ἡ νῆσος Κύπρος ἀγάλλεται, ἐν τῇ ἐλεύσει σου, καὶ ἡ Ἐκκλησία, Πάφου μακαρίζει σε· ἐν ταύτῃ γὰρ τὸ ἅγιον σῶμά σου, ὡς κατατέθειται, ἰαμάτων κρήνην ἔβλυσεν, ἐπομβρίᾳ, τοῦ Ἁγίου Πνεύματος.

Ἕτερα Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Ὅτε, ἐκ τοῦ ξύλου.

Ὅτε, Ἱεράρχης ἀληθής, ψήφῳ θεϊκῇ ἀνεδείχθης, πάτερ Γεννάδιε, τότε δοκιμώτατος, ποιμὴν καὶ πρόεδρος, Βασιλίδος τῶν πόλεων, ὤφθης, θεοφόρε, πάσης Ἐκκλησίας δέ, λύχνος πολύφωτος, λάμπων εὐσεβείας ἀκτῖσι, καὶ τῆς ἐναρέτου ζωῆς σου, τοῖς θεοπρεπέσι προτερήμασι.

Ὅτε, ἀπεδίδως τῷ Θεῷ, Πάτερ, τὰς ὁσίας εὐχάς σου, νύκτωρ, Γεννάδιε, τότε τὸ δαιμόνιον φάσμα τεθέασαι, προμηνῦον τὴν μέλλουσαν, ἐν τῇ Ἐκκλησίᾳ, ταραχὴν καὶ σύγχυσιν, τῇ ἐπηρείᾳ αὐτοῦ· ὅθεν ἐκ τῆς τούτου μανίας, λύτρωσαι ἡμᾶς, Ἱεράρχα, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

www.tezaurliturgic.ro



Χαίροις, Ἱεράρχα τοῦ Χριστοῦ, καὶ μυσταγωγὲ τῶν ἀρρήτων, πάτερ Γεννάδιε· χαίροις, σκεῦος πάγχρυσον, τῶν θεϊκῶν δωρεῶν, ἀπαθείας κειμήλιον, ποιμένων ἀκρότης, ὕψος ταπεινώσεως, βάθος φρονήσεως· χαίροις, λειτουργὲ θείας δόξης, καὶ τῶν σὲ τιμώντων προστάτα, καὶ πρὸς τὸν Χριστόν, μεσῖτα μέγιστε.

Δόξα... Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, τοῦ Εὐαγγελίου ἐργάτης γενόμενος, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ προέστης, τῇ ἄνωθεν προμηθείᾳ· ἐν ἀληθείᾳ γὰρ καὶ πνεύματι, διεξάγων τὴν ζωήν, καὶ τῇ θείᾳ ἐπιπνοίᾳ τὸν λόγον πιστούμενος, τῶν ἐντολῶν τὸν σπόρον, τοῖς πιστοῖς ἐγεώργησας· καὶ καλῶς ποιμάνας τὸν λαὸν τοῦ Θεοῦ τὸν περιούσιον, τῆς τοῦ Κυρίου χαρᾶς ἠξιώθης, ἀπολαβὼν τὸν μισθὸν τῶν καμάτων σου. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, ἱεράρχα Γεννάδιε.

Καὶ νῦν... Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. ι΄ 7, 6 γ΄ 13-15 η΄ 6, 34, 35, 4, 12, 14, 17, 5-9 κβ΄ 21, 19 ιε΄ 4).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. ι΄ 31-32, ια΄ 1-12).

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

www.tezaurliturgic.ro



**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. δ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν.

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Φερωνύμως γενναίῳ φρονήματι, ὑπὲρ τῆς δόξης Χριστοῦ, λαμπρῶς ἠγώνισαι, ἱεράρχα Γεννάδιε· πράξει γὰρ τὴν χάριν ἐκφαίνων, τρόποις ἐπιεικέσιν ἐκπαιδεύσας, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, τοὺς τῷ θείῳ σημειωθέντας αἵματι· καὶ σωφρόνως καὶ ἀμέμπτως πολιτευσάμενος, ἱεραρχίας ὑπόδειγμα, ἐν Ἐκκλησίᾳ πολλῇ ἐγένου. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Χριστόν, ἀδιαλείπτως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Πνευματικαῖς ἐμπρέπων πράξεσι, τοῦ Παρακλήτου ἐδέξω τὰς δωρεάς, καὶ τὰς θείας ἐλλάμψεις, ἱεράρχα Γεννάδιε· καὶ ἐν αὐτῷ ζῶν καὶ κινούμενος, τῆς Ἐκκλησίας κυβερνήτης ὤφθης, καὶ ὁδηγὸς ἀληθής, καὶ βίου ἐναρέτου, θεόπνευστον ὄργανον· ἔργῳ γὰρ ὑπέδειξας, τῶν ἀρετῶν τὰς ὑψώσεις, καὶ θείας ταπεινώσεως τὸ περίβλεπτον ὕψος· ἐν ᾧ ὡς φῶς τῷ κόσμῳ ἔλαμψας, φωτίζων καὶ στηρίζων, τοὺς πίστει προσιόντας σοι.

Ἦχος γ΄.

Τῇ θεοειδεῖ σου ζωῇ, θεοειδέστατος Ἱεράρχης ὤφθης, ἱερώτατε πάτερ Γεννάδιε· θεῖος γὰρ ζῆλος ἐν σοὶ διέλαμψε, χρηστότης τρόπων, ταπεινοφροσύνης ἀκρότης, καὶ συνδρομὴ ἠθῶν σεμνότητος· ἐν οἷς εὐαρεστῶν Θεῷ, ὀρθῶν δογμάτων μυσταγωγεῖς τὴν ἀκρίβειαν, θαύμασιν ἐκλάμπων, καὶ ἀποστολικοῖς χαρίσμασι, καὶ πρεσβεύεις Κυρίῳ, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος δ΄.

Ὡς καθαρὸς τὴν ψυχήν, οὐρανίων καὶ θείων μυήσεων, ἀληθῶς ἠξιώθης, ἱερομύστα Γεννάδιε· τὸ γὰρ Ἅγιον Πνεῦμα ἐν σοὶ οἰκῆσαν, τὰ μέλλοντα συμβαίνειν σοι ἐγνώρισε, καὶ θαυματουργίας χάριν σοι δέδωκε· δι᾽ ἧς ἀφρόνων μὲν ὤφθης παιδευτής, τῆς Ἐκκλησίας δὲ σεπτὸς νυμφαγωγός, καὶ πρακτικὸς διδάσκαλος· πᾶσι γὰρ τὰ κρείττω παρέθου, δικαιοσύνης ὑποδεικνύων τὴν ὁδόν, καὶ πρεσβεύεις Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα... Ἦχος δ΄.

Τὸν Ἱεράρχην τοῦ Χριστοῦ, Γεννάδιον τὸν μέγαν, ἐν ὁσιότητι καὶ ἀληθείᾳ ποιμάναντα, τὸν θεόφρονα λαόν, τῶν εὐσεβῶν τὸ πλήρωμα, συνελθόντες τιμήσωμεν· οὐ μόνον γὰρ τῆς Βασιλίδος τῶν πόλεων, τὸν θρόνον ἐκόσμησεν, ἀλλὰ καὶ πάσης Ἐκκλησίας, κόσμος ὀφθεὶς ἀληθής, καὶ τύπος καὶ παράδειγμα, κατὰ Παῦλον τὸν μέγαν· καὶ ἐν Κύπρῳ τελέσας τὸν ἀγῶνα, τῆς ἄνω ἱεραρχίας, ἀξίως μετέσχε, τὰς ὑπὲρ ἡμῶν ἱλαστηρίους ἀναφέρων Χριστῷ, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, Ἱεραρχῶν καλλονή, τῆς Βυζαντίδος ὁ περίδοξος πρόεδρος, καὶ πάσης τῆς Ἐκκλησίας, ὁ διαυγὴς ὀφθαλμός· ταπεινοφροσύνης ὕψος ἔνθεον· ἠθῶν καθαρότητος, φυτοκόμος ὁ

www.tezaurliturgic.ro



ἄριστος, βίου ἁγίου, ὑποφήτης θεόληπτος, πρακτικώτατος, ἐγκρατείας διδάσκαλος· σκεῦος τὸ πολυτίμητον, τῶν θείων ἐλλάμψεων, τὸ τῆς ἀγάπης ταμεῖον, τὸ τῆς πραότητος σκήνωμα, Γεννάδιε πάτερ, ὁ παρέχων τοῖς αἰτοῦσι, χάριν καὶ ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις, ὁ τοῦ Χριστοῦ μιμητής· Ἱεραρχῶν περιφανὲς σεμνολόγημα· ὁ βίῳ λελαμπρυσμένος, ἀγγελικῷ ἀληθῶς, καὶ σοφίᾳ θείᾳ καλλυνόμενος· τὸ στόμα τὸ ἔνθεον, τῶν δογμάτων τῆς πίστεως, ὁ οὐρανόθεν, δεδεγμένος, Γεννάδιε, θείου Πνεύματος, τὴν σεπτὴν ἐπιφοίτησιν· ὅθεν σαφῶς προέβλεψας, τὴν μέλλουσαν σύγχυσιν, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἐπιβουλῇ τοῦ ἀλάστορος, ἐξ ἧς ἡμᾶς ῥῦσαι, Ἱεράρχα θεοφόρε, τῇ προστασίᾳ σου.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Δρόμον διαπερῶν τῆς ζωῆς, ὡς Ἱεράρχης θεοφόρος, Γεννάδιε, ἐπέστης Πνεύματι θείῳ, πρὸς τὴν ἁγίαν Σιών, ἐν ᾗ κόσμου ὤφθη τὸ σωτήριον· ἐκεῖθεν ἐν σχήματι, ξένῳ, Πάτερ, κατέπλευσας, ἐπὶ τὴν Κύπρον, καὶ πρὸς πόλιν οὐράνιον, ἀνελήλυθας, λιπὼν ταύτῃ τὸ σῶμά σου· ὅθεν σε μακαρίζομεν, τελοῦντες τὴν μνήμην σου, καὶ ἐξαιρέτως ἡ Πάφος, λαμπρυνομένη τῇ δόξῃ σου, ᾗ δίδου ὑψόθεν, τῆς σεπτῆς σου εὐλογίας, χάριν τὴν ἄφθονον.

Δόξα... Ἦχος πλ. δ΄.

Ποιμαντικῇ σοφίᾳ, φαιδρύνας τὸν βίον σου, διαπρεπὴς ἐν Ἱεράρχαις, Γεννάδιε, πέφηνας· καὶ ἀληθεῖ ὁσιότητι, τὴν ἀποστολικὴν ἐξουσίαν, λαμπροτέραν ἐργασάμενος, εὐαγγελικῶς ηὔξησας, τὸ δοθέν σοι τάλαντον. Καὶ νῦν τῆς δόξης τοῦ Κυρίου σου, ἀνακεκαλυμμένως τρυφῶν, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις κατακοσμούμενος, τῆς Ἐκκλησίας ἐδείχθης, Ἀρχιεράρχης σοφός, καὶ ποιμὴν ἀληθινός, πάτερ Γεννάδιε, ὡς θεράπων τοῦ Χριστοῦ, καὶ Ὁσίων κοινωνός, ἐν πάσῃ δικαιοσύνῃ. Καὶ νῦν δυσώπει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε, ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Ὡς σκεῦος ἐκλεκτόν, ἀρετῶν οὐρανίων, σοφὸς ἀρχιερεύς, τῆς Χριστοῦ Ἐκκλησίας, Γεννάδιε μακάριε, ἀληθῶς ἐχρημάτισας· ὅθεν σήμερον, τὴν σὴν γεραίρομεν μνήμην, μακαρίζοντες, τοὺς ἱερούς σου καμάτους, δι᾽ ὧν κόσμῳ ἔλαμψας.

Δόξα... Τὸ αὐτό. Καὶ νῦν... Θεοτοκίον.

Ἐδέξω ἐν γαστρί, τὸν ὑπέρθεον Λόγον, καὶ τέτοκας αὐτόν, ἀσυγχύτως ἀτρέπτως, Θεόν τε καὶ ἄνθρωπον, τὸν Ἀδὰμ ἀναπλάττοντα, Ἀειπάρθενε, θεοχαρίτωτε Κόρη· ὃν ἱκέτευε, ἐν μητρικῇ οἰκειώσει, ὑπὲρ τῶν ὑμνούντων σε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ βίῳ θεόληπτος, ἐν ταπεινώσει πολλῇ, καὶ πλήρης χρηστότητος, καὶ φωτισμοῦ θεϊκοῦ,

www.tezaurliturgic.ro



γενόμενος, Ὅσιε, ὤφθης τοῦ Βυζαντίου, εὐκλεὴς ποιμενάρχης, ἄγων καὶ κατευθύνων, πρὸς νομὰς εὐσεβείας, τοὺς ἄρνας τοῦ Κυρίου, ἐν λόγοις καὶ πράξεσιν.

Δόξα... Τὸ αὐτό. Καὶ νῦν... Θεοτοκίον.

Θεὸν τὸν ἀσώματον, σωματωθέντα ἐκ σοῦ, δι᾽ ἄφατον ἔλεος, τίκτεις ὡς βρέφος, Ἁγνή, καὶ ἄφθορος ἔμεινας· ὅθεν τοῦ ἀποῤῥήτου, μυστηρίου σου, Κόρη, πίστει ἀνενδοιάστῳ, ἀνυμνοῦμεν τὴν δόξαν, δι᾽ οὗ πρὸς ἀφθαρσίαν, ἀνεκλήθημεν, Ἄχραντε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἡ νῆσος Κύπρος δεξαμένη σε, Πάτερ, ὑπερηγάσθη ἀρετῶν σου τὸν πλοῦτον, καὶ τὴν πολλὴν ταπείνωσίν σου, Ὅσιε· ὅθεν καὶ κηδεύσασα, τὸ σὸν ἅγιον σκῆνος, μέγαν σε ἐκτήσατο, πρὸς τὸν Κτίστην μεσίτην, καὶ τὴν σεπτήν σου μνήμην ἐν χαρᾷ, πανηγυρίζει, παμμάκαρ Γεννάδιε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Τὸν ὑπερούσιον Θεὸν τετοκυῖα, οὐσιωθέντα δι᾽ ἡμᾶς εὐσπλαγχνίᾳ, Θεογεννῆτορ Κόρη παντευλόγητε, κόσμου καταφύγιον, καὶ προστάτις ἐδείχθης, καὶ θερμὴ ἀντίληψις, τῶν εἰς σὲ προστρεχόντων· διὸ ποικίλων ῥύου ἀναγκῶν, τοὺς προσιόντας, ἀεὶ τῇ πρεσβείᾳ σου.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(Κεφ. ι΄ 1-9).

(Ζήτει εἰς τὸν Ὄρθρον τῆς 13ης Νοεμβρίου).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας...

Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός.

Τὸ Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Ἀγγελικὴν ἐπιδειξάμενος ζωήν, τῶν ἀρετῶν τῇ πράξει, τὴν σὴν στολὴν ἐποίκιλας, θεοφόρε Γεννάδιε· καὶ εὐσεβείας πόνοις, καὶ γνώσει τῇ κρείττονι, θεοπρεπῶς διακονήσας ἐν τῇ δοθείσῃ σοι χάριτι, τῆς ἀφθαρσίας τὸ διάδημα, παρὰ Χριστοῦ ἐδέξω· ᾧ πρέσβευε ἐκτενῶς, δοῦναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν, καὶ ζωὴν αἰώνιον.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς·

Τῷ ἱερομύστῃ Γενναδίῳ αἶνος. Γερασίμου.

Ποίημα Γερασίμου Μικραγιαννανίτου.

Ὠδὴ α΄.

Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.

Τοῦ φωτὸς τοῦ θείου τὰς αὐγάς, Πάτερ, εἰσδεχόμενος, καὶ ἐν μεθέξει ἀΰλῳ θεούμενος, φωτισμόν μοι δώρησαι, φωτοφόροις σου ἱκεσίαις, Γεννάδιε, ὅπως ἀνυμνήσω, μνήμην σου τὴν θείαν καὶ ὑπέρλαμπρον.

Ὡς τῷ θείῳ φόβῳ ἐκ παιδός, Πάτερ, στοιχειούμενος, καὶ πρὸς Θεὸν ὁλικῶς ἀναγόμενος, πάσης ματαιότητος, ὑπεξέκλινας, οὐρανίῳ φρονήματι, καὶ ἀμέμπτῳ βίῳ, σεαυτὸν ἐλάμπρυνας, Γεννάδιε.

www.tezaurliturgic.ro



Ἱεράρχης ὤφθης ἱερός, ὅσιε Γεννάδιε, τοῦ Παρακλήτου χρισθεὶς ἐν τῇ χάριτι, καὶ καθάπερ ἄγγελος, ἱερατεύσας τῷ Κυρίῳ, μακάριε, ταπεινοφροσύνῃ, καὶ πάσῃ πραότητι κοσμούμενος.

Θεοτοκίον.

Ἐκ γαστρός σου ἔλαμψεν ἡμῖν, ὁ τῆς δόξης Κύριος, σωματωθεὶς ἐξ ἀχράντων αἱμάτων σου, καὶ παρθένον ἄφθορον, μετὰ τόκον σε διασώσας, Πανάμωμε, καὶ τὴν πεπτωκυῖαν, φύσιν τῶν ἀνθρώπων ἀνεμόρφωσε.

Ὠδὴ γ΄.

Ἐξήνθησεν ἡ ἔρημος.

Ῥάβδῳ θείᾳ, Ὅσιε, πρὸς νομὰς ὡδήγησας, λαὸν τὸν περιούσιον, εὐσεβείας ποιμὴν ὡς ἔνθεος, καὶ ζωῆς ἐναρέτου καὶ σεμνότητος.

Ὁ βίος σου λαμπόμενος, ἀρετῶν ταῖς λάμψεσιν, ἀστέρα σε πολύφωτον, Ἐκκλησίᾳ πάσῃ, Γεννάδιε, καὶ φωστῆρα ἀνέδειξε παγκόσμιον.

Μεμυημένος, Ὅσιε, τὴν Χριστοῦ ταπείνωσιν, ἐν πλούτῳ ταπεινώσεως, ἀγάπης τε καὶ πραότητος, ἐν τῷ κόσμῳ διέπρεψας, Γεννάδιε.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν ἱκέτευε, Θεοτόκε Δέσποινα, τὸν σὸν Υἱὸν καὶ Κύριον, λυτρωθῆναι πάσης κακώσεως, τοὺς ἐν πίστει δοξάζοντας τὸν τόκον σου.

Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θείαις πράξεσι, κεκοσμημένος, ἱεράτευσας, Θεῷ ἀμέμπτως, ἱεράρχα θεόφρον Γεννάδιε· καὶ μεταστὰς πρὸς ἄνω βασίλεια, τῶν Ἀσωμάτων συνόμιλος γέγονας. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Σὰρξ γεγένηται, ὁ Θεὸς Λόγος, ἐξ αἱμάτων σου, ἀνερμηνεύτως, καὶ ἐφάνη τῷ κόσμῳ ὡς ἄνθρωπος, διπλοῦς τῇ φύσει ὁμοῦ καὶ θελήσεσι, τῇ ὑποστάσει δὲ εἷς ὡς ηὐδόκησε. Κόρη πάναγνε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ δ΄.

Ἐλήλυθας, ἐκ Παρθένου.

Συνέσεως, πεπλησμένος τῆς θείας, Γεννάδιε, ὅσιος καὶ δίκαιος, καὶ σώφρων ὤφθης ἐν ἅπασι, τῶν πιστῶν τὸ φρόνημα τῇ πολιτείᾳ σου, τῶν φθαρτῶν παιδεύων ἀπέχεσθαι.

Τὸν Κύριον, ἐν νυκτὶ ἱκετεύων, Γεννάδιε, τὸν ἐχθρὸν τεθέασαι, τὴν ἣν ἐπάξει προλέγοντα, ἐκ τῶν αἱρετιζόντων ζάλην ψυχόλεθρον, ἐν τῇ Ἐκκλησίᾳ, μακάριε.

Ἡγίασας, τὴν ψυχὴν καὶ τὸ σῶμα, Γεννάδιε, θείαις ἀναβάσεσιν, ἐξ ὑλικῆς πάσης σχέσεως, ὡς τὸν νοῦν ἐκάθηρας πόνοις ἀσκήσεως· ὅθεν θείας δόξης ἠξίωσαι.

Θεοτοκίον.

Γεννήσασα, ὑπὲρ φύσιν τὸν πάντων Δεσπόζοντα, ὤφθης πάσης κτίσεως, ὡς ἀληθῶς ὑπερέχουσα· ὅθεν με ὑπέρτερον δεῖξον, Πανάχραντε, ἐκ τῆς τῶν παθῶν καταπτώσεως.

Ὠδὴ ε΄.

Μεσίτης Θεοῦ.

Ἐν οἴκῳ Θεοῦ, ἐλαία κατάκαρπος, Γεννάδιε, κατὰ Δαυῒδ πέφηνας, καὶ ἐλαίῳ, Πάτερ, τῶν καμάτων σου, τῶν πιστῶν ἱλαρύνεις, καρδίας τε καὶ πρόσωπα.

Νοΐ καθαρῷ, καὶ χερσὶν ὁσίαις ἱερούργησας, ἅγιε Γεννάδιε, τοῦ Χριστοῦ τὸ θεῖον Εὐαγγέλιον, Ἀποστόλων τὸν ζῆλον, ἐν ἅπασι δεικνύμενος.

Ναῷ παρεστώς, νύκτωρ προσευχόμενος, Γεννάδιε, δαιμόνιον φάντασμα, ἐν αὐτῷ τεθέασαι καὶ ᾔσχυνας, τὴν αὐτοῦ κακουργίαν, συντόνῳ ἱκεσίᾳ σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἀφράστως Χριστόν, τὸν τῶν ὅλων Κύριον κυήσασα, φθορᾶς τὴν ἐπίχυσιν, Κόρη, ἀπεξήρανας τῷ τόκῳ σου, καὶ πηγὴν εὐλογίας, τοῖς πέρασιν ἀνέβλυσας.

Ὠδὴ ϛ΄.

Ἐν ἀβύσσῳ πταισμάτων.

Διδαχαῖς μὴ προσέχων τῆς γλώττης σου, ὁ ἀτάκτως, Ὅσιε, πολιτευόμενος, δίκην δικαίαν εὕρηκεν, ὡς Θεοῦ παριδὼν τὸ μακρόθυμον.

Ἵνα δόξης μετάσχῃς τῆς κρείττονος, δόξαν τὴν ἐπίγειον καὶ θρόνον, Ἅγιε, ἐμφρόνως καταλέλοιπας, καὶ Χριστοῦ τὴν πτωχείαν ἠγάπησας.

Ὡς πτωχός τε καὶ ξένος καὶ ἄοικος, ἐν τῇ Κύπρῳ ἔφθασας, πάτερ Γεννάδιε, καὶ ἅπαντας ἐξέπληξας, μετὰ τέλος γνωσθεὶς τοῖς προστρέξασιν.

Θεοτοκίον.

Ἀειπάρθενε Κόρη ἀπείρανδρε, ἡ κυοφορήσασα τὸν πάντων αἴτιον, δι᾽ ἔλεος ἀμέτρητον, σκοτισθέντα τὸν νοῦν μου καταύγασον.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἱεράρχης ἔνθεος, Πάτερ, ἐδείχθης, λαμπρυνθεὶς τῷ Πνεύματι, τῇ καθαρᾷ σου βιοτῇ, ἱερομύστα Γεννάδιε, Χριστῷ πρεσβεύων, ὑπὲρ τῶν τιμώντων σε.

Ὁ Οἶκος.

Τῆς καθαρᾶς καὶ ἀμέμπτου ζωῆς τὰς ἐπιδόσεις θησαυρίσας, θησαυρὸς ὁσίων ἠθῶν, καὶ ταπεινοφροσύνης ἐνδιαίτημα, καὶ ἀγάπης πλοῦτος ἀκένωτος, ἀναδέδειξαι, Ὅσιε· ὅθεν ἱερωσύνης κληρωσάμενος τὸ ἔνδυμα, ἱεραρχικῶς Χριστῷ εὐηρέστησας, καὶ πρόεδρος περίδοξος, τῆς Βασιλίδος τῶν πόλεων γέγονας, καὶ κυβερνήτης ἱερός, τῆς Ἐκκλησίας τῆς σεπτῆς· ἣν ἰθύνας ἀσφαλῶς, λάθρᾳ ἐν Σιών, καὶ ἐν σχήματι ταπεινῷ, ἐν Κύπρῳ ἧκες, τῶν φθαρτῶν τὰ ἄφθαρτα, καὶ τῶν σαλευομένων τὰ αἰώνια ἀνταλλαττόμενος· καὶ ἅπαντας ἐξέπληξας τῇ πολλῇ ταπεινώσει, καὶ τῇ ξένῃ πτωχείᾳ, ἱερομύστα Γεννάδιε· οἳ τὸ σεπτὸν σῶμά σου κηδεύσαντες, ἐβόων σοι, Πάτερ· Μὴ παύσῃ Χριστῷ πρεσβεύων, ὑπὲρ τῶν τιμώντων σε.

Συναξάριον.

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γενναδίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι.

Ὁ Γεννάδιος εὗρε τὴν Ἐδὲμ στέφος,
Φανεὶς νοητὴν πρὸς παλαίστραν γεννάδας.

Ἑβδομάτῃ δεκάτῃ Γεννάδιος ἔνθεν φαιδρῶς ἤρθη.

Οὗτος ἦν διαλάμπων κατὰ τὸν πέμπτον αἰῶνα, βίῳ σεμνῷ καὶ ὡς εἰπεῖν ἀγγελικῷ ἐμπρέπων, καὶ λόγῳ καὶ πράξει καὶ βαθείᾳ ταπεινοφροσύνῃ κοσμούμενος, πρεσβύτερος ὢν τῆς ἐν Κωνσταντινουπόλει ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, διεδέξατο τὸν ἱερὸν Ἀνατόλιον, ἐκδημήσαντα τῶν τῇδε ἐν ἔτει 458, καὶ μέγας καὶ θαυμαστὸς ὤφθη Πατριάρχης, εὐαγγελικῶς ποιμάνας τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἐν ἀποστολικῷ ζήλῳ, καὶ πάσῃ ἀρετῇ.

Πλήρης ὢν θείου Πνεύματος, θαυμάτων πεπλούτηκεν ἐνέργειαν· διὸ καὶ ἐξήρανε τὴν χεῖρα, καὶ αὖθις ἰάσατο, τοῦ τολμήσαντος γράψαι ἐν εἰκόνι τὴν τοῦ Κυρίου ἰδέαν ἐν σχήματι Διός· τὸν ἀτάκτως πορευόμενον, καὶ μὴ θέλοντα ἐπαναστρέψαι εἰς ἑαυτόν, ἐν τῷ ναῷ τοῦ ἁγίου Ἐλευθερίου ἱερέα, δεηθεὶς τοῦ ἱερομάρτυρος, θανάτῳ παρέδωκεν· ἐν νυκτί τινι προσευχόμενος ἔνδον τοῦ θυσιαστηρίου, ἑώρακε δαιμόνιον φάσμα, ταραχὰς ἐπαπειλοῦν τῇ Ἐκκλησίᾳ, ὃ καὶ γέγονε, τελευτήσαντος τοῦ μακαρίου. Οὗτος τὰς αἱρέσεις, καὶ δὴ τῶν τὴν μίαν φύσιν καὶ ἐνέργειαν ἐν Χριστῷ φληναφούντων, ἤλεγξε καὶ κατήσχυνε· τὴν ἐπάρατον σιμωνίαν συνοδικῶς κατεδίκασε, κανονικῇ ἐπιστολῇ ἀπελέγξας τοὺς τὰ τοιαῦτα τολμῶντας.

Ἐπὶ τούτου ᾠκοδόμηται καὶ συγκεκρότηται ἡ περιώνυμος τοῦ Στουδίου μονή, καὶ ὁ πάνσεπτος τῆς Θεοτόκου ναός, ἐπὶ τῆς ζωηφόρου αὐτῆς Πηγῆς, ὑπὸ Λέοντος τοῦ Α΄ τοῦ καὶ Μακέλλη ἐπιλεγομένου· μετενήνεκται δὲ ἐξ Ἱεροσολύμων ἡ ἱερὰ τῆς Θεομήτορος ἐσθής, ὑπὸ τῶν πατρικίων Γαλβίου καὶ Κανδίδου.

Ἐν μεγίστοις κατορθώμασι διαπρέπων ὁ ἱερὸς καὶ μέγας ἀρχιερεὺς Γεννάδιος, καὶ λύχνος καὶ κόσμος τῆς Ἐκκλησίας γεγονὼς καὶ ὁρώμενος, καὶ ἐπὶ δέκα πρὸς τρισὶν ἐνιαυτοὺς ποιμάνας καὶ κυβερνήσας τὴν τοῦ

www.tezaurliturgic.ro



Χριστοῦ Ἐκκλησίαν, προεχειρίσατο διάδοχον τὸν πρεσβύτερον Ἀκάκιον. Αὐτὸς δὲ λάθρᾳ φυγὼν μετά τινος μοναχοῦ, ᾧ ἡ κλῆσις Νεῖλος, παρεγένετο ἐν σχήματι ἀγνώστῳ καὶ ταπεινῷ τῇ ἁγίᾳ Σιών. Καὶ ἐκεῖθεν ἀπάρας ἔφθασεν εἰς Πάφον τῆς νήσου Κύπρου, σκοπῶν ἀπελθεῖν ἐν τῷ ὄρει μόνος, ἔνθα ὁ μέγας Ἱλαρίων τὴν ἀσκητικὴν πολιτείαν ἤνυσεν· ὅπῃ πορευόμενος καὶ ἀποπλανηθείς, ἐκοιμήθη καθ' ὁδόν, ψύχει πολλῷ συσχεθείς, ἅτε χειμερίου ὥρας καὶ χιόνος ἐνσκηψάσης τῷ τόπῳ. Πρωΐας δὲ γενομένης, εὕρηται τὸ τίμιον λείψανον, ὅπερ ἔγνωσται τίνος ἦν, πλείστοις θαύμασι καὶ θεοσημείαις ἰαμάτων δοξασθέν, εἰς ἔκπληξιν τῶν ὁρώντων καὶ ἀκουόντων, θαυμαζόντων πάντων τὴν ἄκραν ταπείνωσιν, καὶ τὴν μεγάλην ἁγιότητα τοῦ μεγάλου πατρὸς Γενναδίου· καὶ ἀνακομισθὲν ἐκεῖθεν, ἐνεταφιάσθη ἐν ᾧ τόπῳ ηὐδόκησεν ὁ ἅγιος, ἔνθα καὶ ναὸς ᾠκοδόμηται τῷ ἁγίῳ αὐτοῦ ὀνόματι. Κέκτηται δὲ θεόθεν ὁ ἅγιος χάριν τοῦ ἰᾶσθαι τοὺς ὑπὸ ψύχους καὶ κατάρρου πάσχοντας, ὡς καὶ αὐτὸς ἀπὸ πολλῆς ψυχρότητος τέθνηκε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας, τοῦ θαυματουργοῦ.

Στίχοι.

Ὁ Γρηγόριος, θαυματουργῶν καὶ πάλαι,
Θεῷ παραστάς, θαυματουργεῖ τι πλέον.

Ἑβδομάτῃ δεκάτῃ τε μέγας θάνε Θαυματουργός.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου καὶ Ὁμολογητοῦ Λαζάρου, τοῦ ζωγράφου.

Στίχοι.

Οὐ ζωγραφεῖ σε Λάζαρος καὶ νῦν, Λόγε,
Ἀλλὰ βλέπει σε ζῶντα, μὴ ληπτὸν χρόαις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ὁσίων Ζαχαρίου τοῦ Σκυτοτόμου, καὶ Ἰωάννου· καὶ διήγησις ὠφέλιμος.

Στίχοι.

Ὁ Ζαχαρίας καὶ Ἰωάννης ἅμα,
Χερουβὶμ νοῦν ἔσχον ἐξ ἀγρυπνίας.

Ὁ ὅσιος Γεννάδιος, ὁ ἐν τῇ μονῇ τοῦ Βατοπαιδίου ἀσκήσας, καὶ δοχειάρης αὐτῆς ὤν, καὶ τὸ θαῦμα τοῦ ἔλαιον ἀναβλύσαντος ἐκ κενοῦ πίθου ἰδών, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Ὁ Γεννάδιος εἶδε θαῦμά τι ξένον,
Πίθον κενὸν βλύζοντα· Ἁγνῆς ἡ χάρις.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Λογγῖνος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Ἔχεις Ἀθλητήν, Χριστέ, Λογγῖνον μέγαν·
Ἔχεις δὲ καὶ Λογγῖνον Ἀσκητὴν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάξιμος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Μάξιμος ὠδίνησε καὶ τεκὼν τέκνα,
Πράξεις ἁγνάς, ἄπεισιν ἁγνὸς ἐκ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἰουστῖνος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Ἀσκητικὸς ἄγρυπνος ὀφθαλμὸς μύει,
Ἰουστῖνος, τὸ θαῦμα τῶν ἠσκηκότων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Ἀντίθεον πρόσταγμα.

Ἰδόντες ἐθαύμασαν οἱ τὸ σεπτόν σου, εὑράμενοι λείψανον, τὴν σὴν πολλὴν ταπείνωσιν· ὡς ξένος γάρ, ἅγιε, μετέστης ἀπὸ τῆς γῆς, πρὸς δόξαν ὑπερκόσμιον, Γεννάδιε παμμάκαρ, ἀξιοθαύμαστε.

Ναόν σου ἀνήγειραν Κυπρίων δῆμοι, ἐν ᾧ τὸ σεβάσμιον, κατέθεντό σου λείψανον, ἐξ οὗ ἐῤῥει ἄφθονος, τῶν ἰαμάτων ῥοή, πλύνουσα, Γεννάδιε, παθῶν τὰς δυσωδίας, Πνεύματος χάριτι.

Ὁ ἔνδοξος πρόεδρος τοῦ Βυζαντίου, ὁ μέγας Γεννάδιος, Κυπρίων τὸ ἀγλάϊσμα, καὶ ἐξαιρέτως Πάφου δέ, πρὸς τὸν Χριστὸν πρεσβευτής, καὶ θεῖος ἡμῶν ἔφορος, ὑμνείσθω παρὰ πάντων, ᾠδαῖς καὶ ᾄσμασι.

Θεοτοκίον.

Σωτῆρα καὶ Κύριον καὶ Βασιλέα, Χριστὸν τὸν φιλάνθρωπον, κυήσασα, Πανάχραντε, σωθῆναί με πρέσβευε, τὴν εὐσπλαγχνίαν αὐτοῦ, καὶ καταξιῶσαί με, τῆς ἄνω βασιλείας καθικετεύω σε.

www.tezaurliturgic.ro



Ὠδὴ η΄.

Κάμινός ποτε.

Γνώμην ταπεινήν, καὶ ἄκακον καρδίαν, καὶ ἦθος ἄπλαστον κτησάμενος, καὶ τρόπον φιλόθεον, περιφανῶς διέπρεψας, ἐν Ἱεράρχαις, πάτερ Γεννάδιε· Εὐλογεῖτε κράζων, τὰ ἔργα τὸν Κύριον.

Ἔλιπες, σοφέ, καθέδρας τῆς μεγάλης, τὴν περιφάνειαν, Γεννάδιε, καὶ ξένῳ ἐν σχήματι, ἐπὶ ξένης ἐπεδήμησας, οἷάπερ ξένος, Πάτερ, καὶ ἄγνωστος· διὸ ἐδοξάσθης, μεγάλοις χαρίσμασι.

Ῥήμασι τοῖς σοῖς, τὸν τὴν μορφὴν Κυρίου, παραχαράξαντα διήλεγξας, καὶ τοῦτον ἐπαίδευσας, καὶ ἐνθέοις μεσιτείαις σου, τούτου ἴασω αὖθις τὸ σύντριμμα, θαυμάζοντός σου, Πάτερ, τὴν τῶν θαυμάτων ἐνέργειαν.

Θεοτοκίον.

Ἄχραντε Ἁγνή, Θεοκυῆτορ Κόρη, τὴν ῥυπωθεῖσάν μου διάνοιαν, ὁρμαῖς τοῦ ἀλάστορος, ἀποκάθαρον καὶ λάμπρυνον, τοῖς ῥείθροις τοῦ πλουσίου ἐλέους σου, ἵνα σε δοξάζω, σωθεὶς τῇ χάριτι.

Ὠδὴ θ΄.

Ἀνάρχου Γεννήτορος.

Σωφρόνως ἐβίωσας, καὶ ἰσαγγέλως, Ἅγιε, ἀπαθείᾳ λαμπρύνας τὴν πολιτείαν σου, καὶ εὐαρεστήσας Κυρίῳ, ὡς ἱερεὺς ὅσιος καὶ πρᾶος· διὸ κατ᾿ ἀξίαν σε, ὁ Χριστός, Πάτερ, ἐδόξασε.

Ἰάσεις ὁ τάφος σου, πηγάζει θείῳ Πνεύματι, καὶ ἰᾶται κατάρρου, Πάτερ, τὸ πάθημα, καὶ ὑγείαν πᾶσι παρέχει, καὶ ψυχικὴν ὄντως εὐρωστίαν, τοῖς πίστει προστρέχουσι, τῇ ταχείᾳ ἀντιλήψει σου.

Μαρτύρων συνόμιλος, Ἱεραρχῶν ὁμόσκηνος, καὶ Ἁγίων ἁπάντων ὢν ἰσοστάσιος, σὺν αὐτοῖς ἀπαύστως δυσώπει, ὑπὲρ ἡμῶν τῶν ἐπιτελούντων, Γεννάδιε ἔνδοξε, τὴν ἁγίαν σου πανήγυριν.

Οὐράνιον σκήνωμα, χαρὰν τὴν ἀνεκλάλητον, ἐκ Θεοῦ κατοικίαν λαβών, Γεννάδιε, μέμνησο ἡμῶν τῶν σῶν τέκνων, ὡς συμπαθής, Πάτερ θεοφόρε, κἀμοῦ δὲ τὴν αἴνεσιν, εὐτελὲς ὡς δῶρον πρόσδεξαι.

Θεοτοκίον.

Ὑψίστου ἀνάκτορον, καὶ θεῖον ἐνδιαίτημα, παντευλόγητε Κόρη θεοχαρίτωτε, ῥῦσαι τῆς πικρᾶς συνοχῆς με, ἐπιβουλῆς τῆς τοῦ βροτοκτόνου, καὶ δίδου μοι, Δέσποινα, ἐν παντὶ φόβον τὸν ἔνθεον.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θεοπρεπῶς ἐποίμανας, τὸν λαὸν τοῦ Κυρίου, ὡς Ἱεράρχης ἔνθεος, πράξει καὶ θεωρίᾳ, Γεννάδιε θεοφόρε, καὶ Θεὸν μεγαλύνας, ταῖς ἐναρέτοις πράξεσι, παρ᾿ αὐτοῦ ἐδοξάσθης πανευκλεῶς, καὶ Ἀγγέλων σύσκηνος ἀνεδείχθης· μεθ᾿ ὧν ἀπαύστως πρέσβευε, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

Θεοτοκίον.

Σωματωθέντα τέτοκας, τὸν ὑπέρθεον Λόγον, καὶ τοῦ Ἀδὰμ ἀνέτρεψας, τὴν ἀρχαίαν κατάραν, τὴν εὐλογίαν, Παρθένε, ἀντεισάξασα κόσμῳ, καὶ τὴν χαρὰν τὴν ἄληκτον, καὶ ζωὴν τὴν ἀγήρω καὶ τὴν τρυφήν, τὴν διαιωνίζουσαν, Θεοτόκε· διό σε μεγαλύνομεν, ὡς πηγὴν ἀφθαρσίας.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ ἱερὲ Γεννάδιε, τῶν ἀρετῶν τῷ φωτί, λαμπρυνθεὶς τὴν διάνοιαν, τῶν παθῶν ἐσκέδασας, ὁλικῶς τὴν σκοτόμαιναν, καὶ ποιμενάρχης ὤφθης θεόληπτος, τῆς Βασιλίδος πασῶν τῶν πόλεων· ὢ τῆς βαθείας σου, ὄντως ταπεινώσεως! δι᾿ ἧς ἐκ γῆς, πρὸς ὕψος μετάρσιον, ὑψώθης, Ὅσιε.

www.tezaurliturgic.ro



Πάτερ θεόφρον Γεννάδιε, τῇ ἰσαγγέλῳ ζωῇ, διαλάμπων ἐν ἅπασι, τὸν ἐχθρὸν ἑώρακας, ὅτε ηὔχου πρὸς Κύριον, ἐπαπειλοῦντα σάλον καὶ κλύδωνα, τῇ Ἐκκλησίᾳ μετὰ τὸ τέλος σου· ὅθεν κατάβαλε, τούτου τὰ φρυάγματα, τὰ καθ᾿ ἡμῶν, καὶ εἰρήνην βράβευσον, τοῖς σὲ γεραίρουσι.

Πάτερ παμμάκαρ Γεννάδιε, τὰς ἐπιγείους τιμάς, καὶ καθέδραν περίβλεπτον, νουνεχῶς κατέλιπες, οὐρανίῳ φρονήματι, καὶ ἐπὶ ξένης παραγενόμενος, ἐν νήσῳ Κύπρῳ ὁσίως τέθνηκας, καὶ ἀνελήλυθας, ἅρματι ὀχούμενος, τῶν ἀρετῶν, πρὸς τὰ ὑπερκόσμια, χαίρων σκηνώματα.

Πάτερ ἱερὲ Γεννάδιε, ὅτε τὸ σκῆνος τὸ σόν, ἐν ὁδῷ εὗρον κείμενον, ἅπαντες ἐξέστησαν, τὸν σὸν τρόπον ὡς ἔμαθον, ταφῇ ὁσίᾳ δὲ τοῦτο ἔδωκαν, καὶ ναὸν θεῖόν σοι ἀνεδείμαντο· ὅθεν περίσωζε, τοὺς τελοῦντας, Ἅγιε, τὴν ἱεράν, καὶ ἁγίαν μνήμην σου, ταῖς ἱκεσίαις σου.

Δόξα... Ἦχος πλ. α΄.

Τῷ φωτὶ τῆς χάριτος, τῇ σῇ ἀμέμπτῳ πολιτείᾳ, ὡς φωστὴρ ἐξέλαμψας, τῇ Ἐκκλησίᾳ, Ὅσιε· τύπον γὰρ ἐν πᾶσι, σεαυτὸν παρέστησας, μὴ τὰ ὑψηλὰ φρονεῖν παιδεύων, τῷ οἰκείῳ ὑποδείγματι· καὶ τῶν θείων δογμάτων, τὸν θησαυρὸν φυλάττων, τῆς ἄνω βασιλείας, τὸ δηνάριον ἐδέξω, ἱεράρχα Γεννάδιε, πᾶσιν αἰτούμενος εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ᾠδὴ γ΄ καὶ ᾠδὴ ς΄.

Ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος βαρύς, (Ψαλμ. ρμθ΄).

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

### Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. ε΄ 8-19).

(Ζήτει τῇ Δευτέρᾳ τοῦ Ἁγίου Πνεύματος).

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾿ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει· Ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾿ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα (γ΄), Ἦχος β΄, (Ψαλμ. ρλα΄).

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.

www.tezaurliturgic.ro



Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

(Κεφ. ε΄ 14-19).

(Ζήτει τῇ 12η Νοεμβρίου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου...

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Βίῳ διαπρέψας ἀγγελικῷ, ὤφθης Βυζαντίου, ποιμενάρχης θεοειδής, καὶ ἐν Κύπρῳ, πάτερ, Κυρίῳ ἐκδημήσας, Γεννάδιε, ἐδέξω, δόξης τὸν στέφανον.

Δίστιχον.

Γενναῖόν με δεῖξον ἐν πᾶσιν, ὦ Πάτερ,
Γεράσιμον μέλποντα σὴν πολιτείαν.

www.tezaurliturgic.ro

# ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ


## 1. Πηγαί.

### α) Ἔντυποι ἐκδόσεις.

1) Μηναῖον τοῦ Νοεμβρίου. Ἔκδοσις Ἐνετίας 1551, Παρὰ Ἰωάννη τῷ Ῥικαινῷ, ἐπιμελείᾳ δὲ καὶ ἐπιδιορθώσει Γρηγορίου τοῦ Μαλαξοῦ.

Βιβλιοθήκη Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ὑπ' ἀρ. 1024Α.

2) Μηναῖον τοῦ Νοεμβρίου, μετατυπωθὲν ὑπὸ Ἀλεξάνδρου Καγκελλαρίου, Ἐνετίησιν 1740, Παρὰ Νικολάῳ τῷ Σάρῳ.

3) Μηναῖον τοῦ Νοεμβρίου, Ἐκδότης Π. Π. Παρασκευόπουλος, Ἐν Ἀθήναις 1904, σσ. 115-116.

4) Μηναῖον τοῦ Νοεμβρίου, ἐπιστασίᾳ Γεωργίου Γ. Γεγλέ, Ἐκδότης Μιχ. Σαλίβερος Α. Ε., Μεσογείων 78, Ἀμαρούσιον, ἄ. ἔ., σ. 173.

5) Μηναῖον τοῦ Νοεμβρίου, Ἔκδοσις «Φῶς», Ἐν Ἀθήναις 1980, σ. 216.

6) Μηναῖον τοῦ Νοεμβρίου, Ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐπανέκδοσις γ', Ἀθῆναι 1981, σ. 120.

7) Ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γενναδίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπὸ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, Τύποις Ζαβαλλῆ, Βασιλείου Βουλγαροκτόνου 8, Λευκωσία-Κύπρος 1967.

### β) Βίοι-Συναξάρια-Ἐγκώμιον.

1) H. Delehaye, Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembri, Βρυξέλλαι 1902, σ. 240 Μνήμη 20 Νοεμβρίου.

2) Μανουὴλ Γεδεών, Πατριαρχικοὶ πίνακες, Εἰδήσεις ἱστορικαὶ βιογραφικαὶ περὶ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, Ἐν Κωνσταντινουπόλει 1890, σσ. 194-198 Γεννάδιος Α' (458-471).

3) Μανουὴλ Γεδεών, Βυζαντινὸν Ἑορτολόγιον, Μνῆμαι τῶν ἀπὸ τοῦ Δ' μέχρι μέσων τοῦ ΙΕ' αἰῶνος ἑορταζομένων Ἁγίων ἐν Κωνσταντινουπόλει, Ἐν Κωνσταντινουπόλει 1899, σσ. 193, 194 Μνήμη 20 Νοεμβρίου.

4) H. Delehaye, Saints de Chypre, *Analecta Bollandiana*, τόμ. XXVI, Βρυξέλλαι 1907, σσ. 221-228 Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐγκώμιον κεφαλαιῶδες εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γεννάδιον Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως· καὶ περὶ τῆς αὐτοῦ ἐγκυκλίου ἐπιστολῆς· καὶ διατὶ τὸ τίμιον αὐτοῦ λείψανον οὐκ ἀνεκομίσθη πρὸς τὴν Βασιλεύουσαν πόλιν. Βλέπε καὶ σσ. 242, 294-297.

5) Ἰωάννου Χ. Χατζηϊωάννου, Ἱστορία καὶ ἔργα Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐν Ἀλεξανδρείᾳ 1914, σσ. 316-324 Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ ἐγκλείστου. Ἐγκώμιον κεφαλαιῶδες εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γεννάδιον Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως· καὶ περὶ τῆς αὐτοῦ ἐγκυκλίου ἐπιστολῆς· καὶ διατὶ τὸ τίμιον αὐτοῦ λείψανον οὐκ ἀνεκομίσθη πρὸς τὴν Βασιλεύουσαν πόλιν.

6) Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Α', Ἀθήνησι 1868, σ. 229.

7) Κωνσταντίνου Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Νοέμβριος, Ἐν Ἀθήναις 1895, σσ. 414-415.

8) Σωφρονίου Εὐστρατιάδου, πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935, Ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, σ. 89.

9) Macaire, moine de Simonos Petras, Le Synaxaire, Vies des Saints de l' Eglise Orthodoxe, tome premier, Septembre, Octobre, Novembre, Éditions «To perivoli tis Panaghias», Thessalonique 1987, σ. 534.

10) Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ', Κύπρος, ἡ ἁγία νῆσος, Ἀθῆναι 1968, σ. 14.

11) Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, δ' ἔκδοσις, Λευκωσία 1988, σσ. 184-191.

12) Μιχαὴλ Ἰ. Γαλανοῦ, Οἱ βίοι τῶν ἁγίων τοῦ Μηνολογίου τῆς Ὀρθοδόξου Ἑλληνικῆς Ἐκκλησίας, τεῦχος ΙΑ', Μὴν Νοέμβριος, Ἔκδοσις γ' ὑπὸ τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀθῆναι 1988, σσ. 140-141.

13) Ἰωάννου Π. Τσικνοπούλλου, Ὁ ἅγιος Γεννάδιος, ἐν «Ἀπόστολος Βαρνάβας», τόμ. ΚΔ', 1963, τεῦχος 9-10, σσ. 269-270.

14) Ἱερᾶς Μονῆς Σταυροβουνίου, Ἀσματικὴ ἀκολουθία τῶν ἐν Κύπρῳ ἁγίων, Κύπρος 1988, σσ. 35, 36,120, 152.

www.tezaurliturgic.ro



## 2. Βοηθήματα.

### α) Μελέται.

1) F. Halkin, Bibliotheca Hagiographica Graeca, tome 1, Βρυξέλλαι 1957, σ. 211. Gennadius patr. CP † 471 - Nov. 20.

2) H. Follieri, Initia Hymnorum Ecclesiae Graecae, Vol. V pars altera, Città del Vaticano 1966, σ. 66. Γεννάδιος ἀρχιεπ. Κωνσταντινουπόλεως (Nov. 17).

3) Ἰωάννου Χάκκετт, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαριλάου Ἰ. Παπαϊωάννου, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 218-220.

4) Γερασίμου Κονιδάρη, Γεννάδιος. Ὁ Α΄. Πατριάρχης Κωνσταντινουπόλεως, ἐν «Θρησκευτικὴ καὶ Χριστιανικὴ Ἐγκυκλοπαιδεία», τόμ. Β΄, Ἀθῆναι 1937, σ. 862.

5) Στυλιανοῦ Γ. Παπαδοπούλου, Γεννάδιος. Ὁ Α΄. Πατριάρχης Κωνσταντινουπόλεως (Αὔγουστος ἢ Σεπτέμβριος 458- 20 Νοεμβρίου 471), ἐν «Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία», τόμ. 4ος, Ἀθῆναι 1964, σσ. 271-272.

6) Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 172-174.

7) Νικολάου Β. Τωμαδάκη, Ἡ Κυπριακὴ ἁγιολογία καὶ ὑμνογραφία ἐν σχέσει πρὸς τὰς κυπριακὰς ἀκολουθίας, Ἀθῆναι 1986, σ. 198. Γεννάδιος πατριάρχης Κωνσταντινουπόλεως (ὁ Α΄, 458-471) ἀποθανὼν ἐν Κύπρῳ (Νοεμβρίου 17 / 20).

### β) Ναογραφία.

1) Cl. Cobham, The Churches and Saints of Cyprus, London 1910, σ. 11. Μωρόν νερον.

2) Ν. Κυριαζῆ, Ἅγιοι ἐν Κύπρῳ καὶ οἱ ναοί των, ἐν «Ἀγάπη» Λευκωσία, Ἰανουάριος 1946, ἔτος Γ΄, τεῦχος 17, σ. 22.

3) Σ. Μενάρδου, Τοπωνυμικὸν τῆς Κύπρου, Ἔκδοσις Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν, Λευκωσία 1970, σσ. 26, 38, 52, 55 Ἐπισκοπὴ Πάφου, 27, 35 Κωμίδιον τῆς Πάφου Μωρὸν νερὸν ἀπὸ τὴν μικράν του βρύσιν.

4) Κ. Ἀ. Πιλαβάκη, Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ, ἐν «Κυπριακαὶ Σπουδαί», τόμ. XXXVIII, 1971 παράρτημα, σ. 82 Ἐπισκοπὴ Πάφου, Ἐκκλησία Ἅγιος Ἱλαρίων, τόμ. XXXIX, 1975 παράρτημα, σ. 151 Μωρόν νερον (Τοπωνύμια ἐκ τῶν καταλοίπων Σ. Μενάρδου).

5) A concise gazetteer of Cyprus, Nicosia 1982, σ. 24 Ἐπισκοπὴ χωρίον Ἐπαρχίας Πάφου, θέσις VD 56 50, σ. 42 Μωρόν νερον, τοποθεσία ἐπαρχίας Πάφου, θέσις VD 56 52.

6) Ἀθηνᾶς Ταρσούλη, Κύπρος, τόμ. Α΄, Ἀθῆναι 1955, σσ. 466-468.

7) Νεάρχου Κληρίδου, Χωριὰ καὶ πολιτεῖες τῆς Κύπρου, Λευκοσία 1961, σ. 85 Ἐπισκοπὴ Πάφου.

8) Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 140, 169-172, 206, 220 Ὁ ἅγιος Ἱλαρίων (290-371 μ. Χ.), σσ. 47, 126, 127, 172-174 Ὁ ἅγιος Γεννάδιος (458-471 μ. Χ.) εἰκών, 248 Μορόν νερον. Ὁ ναὸς τοῦ ἁγίου Γενναδίου (φωτογραφία Ἰ. Τσικνοπούλλου, ὅστις ἐτυμολογεῖ τὸ ὄνομα τοῦ χωρίου ἐκ τοῦ Ὅμορον Ὕδωρ).

### γ) Εἰκονογραφία.

Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 172 εἰκών, 247 Ὁ ἅγιος Ἀντύπας, Ὁ ἅγιος Γεννάδιος (Μουσεῖον Ἰ. Μητροπόλεως Πάφου, βλ. καὶ σ. 126 ἰ. εἰκόνες ἀρ. 4 Ὁ ἅγιος Γεννάδιος 103 X 57).

### δ) Λαογραφικὴ παράδοσις.

1) Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, ἐγκώμιον κεφαλαιῶδες εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γεννάδιον, παράγραφος 8 στίχοι 10-12 «Ἐπεὶ δὲ καὶ ὁ κατάῤῥους πολλάκις ἀπὸ πολλῆς ψυχρότητος εἴωθεν γίνεσθαι καὶ αὐτὸς ἀπὸ πολλῆς ψυχρότητος τέθνηκεν, ἰαματικὴν πρὸς τὸ πάθος κέκτηται χάριν».

2) Ν. Κυριαζῆ, Δημώδης Κυπριακὴ ἰατρική, ἐν «Κυπριακὰ Χρονικά», τόμ. Δ΄, 1926, σ. 10 Ἅγιος Ἀντύπας, θεραπεύει πάντα πόνον, μάλιστα δὲ τὰς νευραλγίας καὶ πρὸ παντὸς τὴν ὀδονταλγίαν.

3) Ἡ συνύπαρξις τοῦ ἁγίου Γεννάδιου καὶ ἁγίου Ἀντύπα εἰς τὴν εἰκόνα τοῦ Μουσείου τῆς Ἰ. Μητροπόλεως Πάφου ἐπιβεβαιώνει τὴν παράδοσιν ὅτι ὁ ἅγιος Γεννάδιος θεραπεύει τὸν κατάῤῥουν.

### ε) Ὁ ὑμνογράφος.

1) Ἰωάννου Σπ. Ράμφου πρωτοπρεσβυτέρου, Γεράσιμος Μοναχὸς ὁ Μικραγιαννανίτης, Μία τεσσαρακονταετία ὑμνογραφικῆς διακονίας, Ἐν Ἀθήναις 1971, σ. 32.

2) Π. Β. Πάσχου, «Ὑμνηπόλος Ἐράσμιος», Ὁ ὑμνογράφος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Γεράσιμος Μοναχὸς Μικραγιαννανίτης, Εἰς μνήμην αὐτοῦ. Σκήτη Μικρᾶς Ἁγίας Ἄννης, Ἅγιον Ὄρος 1992.